Ἐν ἀρχῇ ἦν ὁ λόγος. καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν. καὶ
θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. παν
τα δι' αὐτοῦ ἐγένετο. καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν
ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν. καὶ ζωὴ ἦν τὸ φῶς τῶν
ἀνθρώπων. καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει. καὶ ἡ σκ
οτία αὐτὸ οὐ κατέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος
παρὰ θεοῦ ὄνομα αὐτῷ ἰωάννης. οὗτος ἦλθεν εἰς
μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς ἵνα πάντες
πιστεύσωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ' ἵνα
μαρτυρήσῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινὸν
ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν
τῷ κόσμῳ ἦν. καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. καὶ ὁ
κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ ἴδια ἦλθε καὶ οἱ ἴδιοι
αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτόν. ἔδωκεν
αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πιστεύουσιν
εἰς τὸ ὄνομα αὐτοῦ οἳ οὐκ ἐξ αἱμάτων. οὐδὲ ἐκ θελ
ήματος σαρκός. οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ
ἐγεννήθησαν. καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνω
σεν ἐν ἡμῖν καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ,
δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς πλήρης χάριτος
καὶ ἀληθείας: ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ κέκ
ραγε λέγων οὗτος ἐστὶν ὃν εἶπον, ὁ ὀπίσω μου ἐρχό
μενος. ἔμπροσθέν μου γέγονεν. ὅτι πρῶτός μου
ἦν καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες
ἐλάβομεν. καὶ χάριν ἀντὶ χάριτος. ὅτι ὁ νόμος
διὰ μωσέως ἐδόθη. ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ ἰησοῦ
χριστοῦ ἐγένετο: +

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_195/0016